# Week 2 Plato, *Republic* 364b-365b

*ἀγύρται δὲ καὶ μάντεις ἐπὶ* (5)
*πλουσίων θύρας ἰόντες πείθουσιν ὡς ἔστι παρὰ σφίσι*
*δύναμις ἐκ θεῶν ποριζομένη θυσίαις τε καὶ ἐπῳδαῖς, εἴτε τι*
(c.) *ἀδίκημά του γέγονεν αὐτοῦ ἢ προγόνων, ἀκεῖσθαι μεθ’*
*ἡδονῶν τε καὶ ἑορτῶν, ἐάν τέ τινα ἐχθρὸν πημῆναι ἐθέλῃ,*
*μετὰ σμικρῶν δαπανῶν ὁμοίως δίκαιον ἀδίκῳ βλάψει ἐπα-*
*γωγαῖς τισιν καὶ καταδέσμοις, τοὺς θεούς, ὥς φασιν, πείθοντές*
*σφισιν ὑπηρετεῖν. τούτοις δὲ πᾶσιν τοῖς λόγοις μάρτυρας* (5)
*ποιητὰς ἐπάγονται οἱ μὲν κακίας πέρι, εὐπετείας διδόντες, ὡς*

*τὴν μὲν κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι* (6)
(d.) *ῥηϊδίως· λείη μὲν ὁδός, μάλα δ’ ἐγγύθι ναίει·*
*τῆς δ’ ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν*

*καί τινα ὁδὸν μακράν τε καὶ τραχεῖαν καὶ ἀνάντη· οἱ δὲ* (2)
*τῆς τῶν θεῶν ὑπ’ ἀνθρώπων παραγωγῆς τὸν Ὅμηρον*
*μαρτύρονται, ὅτι καὶ ἐκεῖνος εἶπεν—*

*λιστοὶ δέ τε καὶ θεοὶ αὐτοί,* (5)
*καὶ τοὺς μὲν θυσίαισι καὶ εὐχωλαῖς ἀγαναῖσιν*
(e.) *λοιβῇ τε κνίσῃ τε παρατρωπῶσ’ ἄνθρωποι*
*λισσόμενοι, ὅτε κέν τις ὑπερβήῃ καὶ ἁμάρτῃ.*

*βίβλων δὲ ὅμαδον παρέχονται Μουσαίου καὶ Ὀρφέως,* (2)
*Σελήνης τε καὶ Μουσῶν ἐκγόνων, ὥς φασι, καθ’ ἃς θυη-*
*πολοῦσιν, πείθοντες οὐ μόνον ἰδιώτας ἀλλὰ καὶ πόλεις, ὡς*
*ἄρα λύσεις τε καὶ καθαρμοὶ ἀδικημάτων διὰ θυσιῶν καὶ* (5)
365.
(a.) *παιδιᾶς ἡδονῶν εἰσι μὲν ἔτι ζῶσιν, εἰσὶ δὲ καὶ τελευτήσα-*
*σιν, ἃς δὴ τελετὰς καλοῦσιν, αἳ τῶν ἐκεῖ κακῶν ἀπολύουσιν*
*ἡμᾶς, μὴ θύσαντας δὲ δεινὰ περιμένει.*

*Ταῦτα πάντα, ἔφη, ὦ φίλε Σώκρατες, τοιαῦτα καὶ τοσαῦτα*
*λεγόμενα ἀρετῆς πέρι καὶ κακίας, ὡς ἄνθρωποι καὶ θεοὶ* (5)
*περὶ αὐτὰ ἔχουσι τιμῆς, τί οἰόμεθα ἀκουούσας νέων ψυχὰς*
*ποιεῖν, ὅσοι εὐφυεῖς καὶ ἱκανοὶ ἐπὶ πάντα τὰ λεγόμενα*
*ὥσπερ ἐπιπτόμενοι συλλογίσασθαι ἐξ αὐτῶν ποῖός τις ἂν*
(b.) *ὢν καὶ πῇ πορευθεὶς τὸν βίον ὡς ἄριστα διέλθοι; λέγοι γὰρ*
*ἂν ἐκ τῶν εἰκότων πρὸς αὑτὸν κατὰ Πίνδαρον ἐκεῖνο τὸ*
*Πότερον δίκᾳ τεῖχος ὕψιον ἢ σκολιαῖς ἀπάταις*
*ἀναβὰς καὶ ἐμαυτὸν οὕτω περιφράξας διαβιῶ; τὰ μὲν γὰρ*
*λεγόμενα δικαίῳ μὲν ὄντι μοι, ἐὰν μὴ καὶ δοκῶ ὄφελος* (5)
*οὐδέν φασιν εἶναι, πόνους δὲ καὶ ζημίας φανεράς· ἀδίκῳ δὲ*
*δόξαν δικαιοσύνης παρεσκευασμένῳ θεσπέσιος βίος λέγεται.*